συνέγραψε πρὸς τὸν ἐλλόγιμον ἐπίσκοπον Πλαταμῶνος Διονύσιον ἐπιστολὴν περὶ τοῦ πῶς δεῖ ἀρχιερατεύειν. ἐν ᾗ διὰ πολλῶν μαρτυριῶν τῆς γραφῆς καὶ τῶν ἱερῶν Πατέρων διακρίνονται οἱ ἀληθεῖς ἱερεῖς τοῦ θεοῦ τῶν νόθων. οὗτος ἠκολούθησε τὰ ἴχνη τῆς ἀκριβεστέρας μοναδικῆς πολιτείας, καὶ μόνας τὰς κυριακὰς καὶ μεγάλας ἑορτὰς ἐξήρχετο τοῦ ἡσυχαστηρίου αὐτοῦ, καὶ ἀπήρχετο ἐν τῇ ἐκκλησίᾳ, καὶ συνανεστρέφετο τοῖς μετ' αὐτοῦ βουλομένοις συλλαλήσειν, τὰς δὲ λοιπὰς ἡμέρας τῆς ἑβδομάδος ἐμόναζεν ἐν ἡσυχίᾳ· συνέγραψε καὶ ὀπτασίας τινὰς καὶ ἀπέστειλε πρὸς τὸν ἐν Κωνσταντινουπόλει ἱεροκήρυκα δωρόθεον· Θεοδωρήτου ἀρχιμ:

1650. Βασιλειος ὁ τοῦ χατζῆ Κυριακοῦ. ἤκμαζε περὶ τὸ 1650 ἔτος, τίς ὅμως καὶ πόθεν, οὐκ οἴδαμεν ειμὴ ὡς γράφει νικόδημος ὁ ἐκ νάξου ἐν νέῳ μαρτυρολογίῳ συνέγραψε τὸν βίον καὶ μαρτύριον καὶ ἀκολουθίαν Δημητρίου μάρτυρος τοῦ ἐκ φιλαδελφείας.

1616. Βαπτιστης Καβάσιλας ἀνὴρ πεπαιδευμένος καὶ σοφὸς ἤκμαζε κατὰ τὴν ἀρχὴν τοῦ δεκάτου ἑβδόμου αἰῶνος. τὴν ἱστορίαν τούτου τοῦ ἀνδρὸς καὶ τὰ συγγράμματα αὐτοῦ καταλιμπάνομεν τοῖς περιττοῖς τὴν σοφίαν καὶ πλείονα εἴδησιν τῶν τοιούτων ἐχόντων ἐξιστορῆσαι· ἡμεῖς δὲ τοῦτο μόνον οἴδαμεν ὅτι ἡδὺς εἰς τὰς ἐπιστολὰς καὶ ὅτι σώζεται μία ἐπιστολὴ αὐτοῦ παρ' ἡμῖν χειρόγραφος πρὸς Γεώργιον τὸν βλάσιον γραφεῖσα τῷ ἔτει 1616. Γαμηλιῶνος γ' ἱσταμένου.